Θεόγνιδος γνῶμαι· τοῦ μεγαρέως·
πρὸς κύρνον· τὸν ἑαυτοῦ φίλον·
θέογνις· θέογνις· θέογνις·

Ὦ ἄνα· λητοῦς υἱέ· διὸς τέκος· οὔποτε σεῖο
λήσομαι ἀρχόμενος· οὐδ' ἀποπαυόμενος·
ἀλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
ἀείσω· σὺ δέ μοι κλῦθι· καὶ ἐσθλὰ δίδου·
Φοῖβε ἄναξ· ὅτε μέν σε θεὰ τέκε πότνια λητώ,
φοίνικος ῥαδινῆς (τρυφερῆς) χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέϊ λίμνῃ,
πᾶσα μὲν ἐπλήσθη δῆλος ἀπειρεσίη,
ὀδμῆς ἀμβροσίης· ἐγέλασσε δὲ γαῖα πελώρη.
γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς :
Ἄρτεμι θηροφόνη· θύγατερ διός· ἣν ἀγαμέμνων
εἵσαθ' ὅτ' ἐς τροίην ἔπλεε νηυσὶ θοαῖς·
εὐχομένῳ μοι κλῦθι· κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε·
σοὶ τοῦτο θεὰ σμικρόν· ἐμοὶ δὲ μέγα :

1 ηδ α

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_139/0387